# Kritiás

Fragmenta DK 88 B

**B 1** = Athénaios, Deipnosophistae XIII; 600d (XIII, 74 Kaibel)

ὃν ὁ σοφὸς ὑμνῶν αἰεί ποτε ᾿Ανακρέων πᾶσίν ἐστιν διὰ στόματος. λέγει οὖν περὶ αὐτοῦ καὶ ὁ κράτιστος Κριτίας τάδε·

τὸν δὲ γυναικείων μελέων πλέξαντά ποτ᾿ ᾠιδάς
ἡδὺν ᾿Ανακρείοντα Τέως εἰς ῾Ελλάδ᾿ ἀνῆγεν,
συμποσίων ἐρέθισμα, γυναικῶν ἠπερόπευμα,
αὐλῶν ἀντίπαλον, φιλοβάρβιτον, ἡδύν, ἄλυπον.
οὔ ποτέ σου φιλότης γηράσεται οὐδὲ θανεῖται,
ἔστ᾿ ἂν ὕδωρ οἴνωι συμμειγνύμενον κυλίκεσσιν
παῖς διαπομπεύηι προπόσεις ἐπὶ δεξιὰ νωμῶν
παννυχίδας θ᾿ ἱερὰς θήλεις χοροὶ ἀμφιέπωσιν,
πλάστιγξ θ᾿ ἡ χαλκοῦ θυγάτηρ ἐπ᾿ ἄκραισι καθίζηι
κοττάβου ὑψηλαῖς κορυφαῖς Βρομίου ψακάδεσσιν ...

ΚΡΙΤΙΟΥ ΕΛΕΓΕΙΑ

**B 2**

κότταβος ἐκ Σικελῆς ἐστι χθονός, ἐκπρεπὲς ἔργον,
ὃν σκοπὸν ἐς λατάγων τόξα καθιστάμεθα·
εἶτα δ᾿ ὄχος Σικελὸς κάλλει δαπάνηι τε κράτιστος
Θεσσαλικὸς δὲ θρόνος, γυίων τρυφερωτάτη ἕδρα·
εὐναίου δὲ λέχους [ἔξοχα] κάλλος ἔχει
Μίλητός τε Χίος τ᾿ ἔναλος πόλις Οἰνοπίωνος.
Τυρσηνὴ δὲ κρατεῖ χρυσότυπος φιάλη

καὶ πᾶς χαλκὸς ὅτις κοσμεῖ δόμον ἔν τινι χρείαι.
Φοίνικες δ᾽ εὗρον γράμματ᾽ ἀλεξίλογα·
Θήβη δ᾽ ἁρματόεντα δίφρον συνεπήξατο πρώτη,
φορτηγοὺς δ᾽ ἀκάτους Κᾶρες ἁλὸς ταμίαι.
τὸν δὲ τροχὸν γαίας τε καμίνου τ᾽ ἔκγονον εὗρεν
κλεινότατον κέραμον, χρήσιμον οἰκονόμον.

**B 2** /1 = Athénaios, Deipnosophistae - Epitome I; p. 28b
Κριτίας δὲ οὕτως (τὰ ἐξ ἑκάστης πόλεως ἰδιώματα καταλέγει)· ᾽κότταβος ... τρόπαιον᾽. καὶ ἐπαινεῖται ὄντως ὁ ᾽Αττικὸς κέραμος.

**B 2** /2 = Athénaios, Deipnosophistae XV; 666b (XV, 2 Kaibel)
πρῶτον μὲν ἡ τῶν κοττάβων εὕρεσις Σικελική ἐστιν παιδιά, ταύτην πρώτων εὑρόντων Σικελῶν, ὡς Κριτίας φησὶν ὁ Καλλαίσχρου ἐν τοῖς ᾽Ελεγείοις διὰ τούτων· ᾽κότταβος ... καθιστάμεθα.᾽

**B 2** /3 = Lex. Bekk. VI Anecd. I, 382, 19 (in: Fótios, Lexicon A 73, 3 Reitzenstein)
ἀλεξίλογα· οὕτω τὰ γράμματα κέκληκε Κριτίας ὁ τύραννος (V. 10).
᾽κότταβος ... οἰκονόμον.᾽
ἡ τὸ καλὸν Μαραθῶνι καταστήσασα τρόπαιον.

**B 2** /4 = Athénaios, Deipnosophistae I, 50 Kaibel
Κριτίας δὲ οὕτως (fr. 1 B)·
᾽κότταβος ... κράτιστος.᾽

**B 3** = Mall. Theodor., de metr. VI, 589, 20 Keil
metrum dactylicum hexametrum inventum primitus ab Orpheo Crtias asserit.

## ΕΙΣ ΑΛΚΙΒΙΑΔΗΝ

**B 4** = Héfaistión, Enchiridion de metris 2, 3

[περὶ συνεκφωνήσεως] ἢ δύο βραχεῖαι εἰς μίαν βραχεῖαν, ὅπερ ἐν τοῖς ἄλλοις εὑρίσκεται μέτροις ... ἐν δὲ τοῖς ἔπεσι σπανίως· ὥσπερ Κριτίας ἐν τῆι εἰς Ἀλκιβιάδην ἐλεγείαι οὐκ ὤιετο ἐγχωρεῖν τοῦ Ἀλκιβιάδου τὸ ὄνομα· φησὶ γάρ·

καὶ νῦν Κλεινίου υἱὸν Ἀθηναῖον στεφανώσω
Ἀλκιβιάδην νέοισιν ὑμνήσας τρόποις·
οὐ γάρ πως ἦν τοὔνομ᾽ ἐφαρμόζειν ἐλεγείωι·
νῦν δ᾽ ἐν ἰαμβείωι κείσεται οὐκ ἀμέτρως.

**B 5** = Plútarchos, Alcib. 33

τὸ μὲν οὖν ψήφισμα τῆς καθόδου πρότερον ἐκεκύρωτο Κριτίου τοῦ Καλλαίσχρου γράψαντος, ὡς αὐτὸς ἐν ταῖς Ἐλεγείαις πεποίηκεν ὑπομιμνήισκων τὸν Ἀλκιβιάδην τῆς χάριτος ἐν τούτοις·

γνώμη δ᾽ ἥ σε κατήγαγ᾽, ἐγὼ ταύτην ἐν ἅπασιν
εἶπον καὶ γράψας τοὖργον ἔδρασα τόδε.
σφραγὶς δ᾽ ἡμετέρης γλώττης ἐπὶ τοῖσδεσι κεῖται.

## ΠΟΛΙΤΕΙΑΙ ΕΜΜΕΤΡΟΙ

## ΠΟΛΙΤΕΙΑ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ

**B 6** = Athénaios, Deipnosophistae X, 432d (X, 41 Kaibel)

προπόσεις δὲ τὰς γινομένας ἐν τοῖς συμποσίοις Λακεδαιμονίοις οὐκ ἦν ἔθος ποιεῖν οὐδὲ φιλοτησίας διὰ τούτων πρὸς ἀλλήλους ποιεῖσθαι. δηλοῖ δὲ ταῦτα Κριτίας ἐν τοῖς Ἐλεγείοις·

καὶ τόδ᾽ ἔθος Σπάρτηι μελέτημά τε κείμενόν ἐστι
πίνειν τὴν αὐτὴν οἰνοφόρον κύλικα,
μηδ᾽ ἀποδωρεῖσθαι προπόσεις ὀνομαστὶ λέγοντα

μηδ᾿ ἐπὶ δεξιτερὰν χεῖρα κύκλωι θιάσου
ἄγγεα Λυδὴ χεὶρ εὗρ᾿ ᾿Ασιατογενής
καὶ προπόσεις ὀρέγειν ἐπὶ δεξιὰ καὶ προκαλεῖσθαι
ἐξονομακλήδην, ὧι προπιεῖν ἐθέλει.
εἶτ᾿ ἀπὸ τοιούτων πόσεων γλώσσας τε λύουσιν
εἰς αἰσχροὺς μύθους, σῶμά τ᾿ ἀμαυρότερον
τεύχουσιν· πρὸς δ᾿ ὄμμ᾿ ἀχλὺς ἀμβλωπὸς ἐφίζει,
λῆστις δ᾿ ἐκτήκει μνημοσύνην πραπίδων,
νοῦς δὲ παρέσφαλται. δμῶες δ᾿ ἀκόλαστον ἔχουσιν
ἦθος· ἐπεισπίπτει δ᾿ οἰκοτριβὴς δαπάνη.
οἱ Λακεδαιμονίων δὲ κόροι πίνουσι τοσοῦτον,
ὥστε φρέν᾿ εἰς ἱλαρὰν ἐλπίδα πάντας ἄγειν
ἔς τε φιλοφροσύνην γλῶσσαν μέτριόν τε γέλωτα.
τοιαύτη δὲ πόσις σώματί τ᾿ ὠφέλιμος
γνώμηι τε κτήσει τε· καλῶς δ᾿ εἰς ἔργ᾿ ᾿Αφροδίτης
πρός θ᾿ ὕπνον ἥρμοσται, τὸν καμάτων λιμένα,
πρὸς τὴν τερπνοτάτην τε θεῶν θνητοῖς ῾Υγίειαν
καὶ τὴν Εὐσεβίης γείτονα Σωφροσύνην.

ἑξῆς τε πάλιν φησίν·

αἱ γὰρ ὑπὲρ τὸ μέτρον κυλίκων προπόσεις παρὰ χρῆμα
τέρψασαι λυποῦσ᾿ εἰς τὸν ἅπαντα χρόνον.
ἡ Λακεδαιμονίων δὲ δίαιθ᾿ ὁμαλῶς διάκειται,
ἔσθειν καὶ πίνειν σύμμετρα πρὸς τὸ φρονεῖν
καὶ τὸ πονεῖν εἶναι δυνατούς· οὐκ ἔστ᾿ ἀπότακτος
ἡμέρα οἰνῶσαι σῶμ᾿ ἀμέτροισι πότοις.

**B 7** /1 = Schol. Eurip. Hipp. 264

ἑνὸς τῶν ἑπτὰ σοφῶν ἐστιν ἀπόφθεγμα τὸ ᾿μηδὲν ἄγαν᾿, ὅπερ Χίλωνι ἀνατιθέασιν, ὡς Κριτίας.

**B 7** /2 = Diogenés Laertios, Vitae philosophorum I, 41

ἦν Λακεδαιμόνιος, Χίλων σοφός, ὃς τάδ᾽ ἔλεξε·

μηδὲν ἄγαν· καιρῶι πάντα πρόσεστι καλά.

**B 8** = Plútarchos, Cim. 10 (sec. 82 B 20)

Κριτίας δὲ τῶν τριάκοντα γενόμενος ἐν τοῖς Ἐλεγείοις εὔχεται

πλοῦτον μὲν Σκοπαδῶν, μεγαλοφροσύνην δὲ Κίμωνος,

νίκας δ᾽ Ἀρκεσίλα τοῦ Λακεδαιμονίου.

**B 9** = Stobaios, Anthologium III, 29, 11

Κριτίου·

ἐκ μελέτης πλείους ἢ φύσεως ἀγαθοί.

**B 10** = Vita Euripid. 135, 33

τούτων νοθεύεται τρία· Τέννης, Ῥαδάμανθυς, Πειρίθοος.

**B 12 tit**

ΤΕΝΝΗΣ

**B 12** = Stobaios, Anthologium III, 2, 15

Εὐριπίδης Τέννηι.

φεῦ· οὐδὲν δικαιόν ἐστιν ἐν τῶι νῦν γένει.

ΡΑΔΑΜΑΝΘΥΣ

**B 13** = Antiatt. Bekk. p. 94, 1

ἐξαιρεῖν ἀντὶ τοῦ ἀφαιρεῖν. Εὐριπίδης δὲ Ῥαδαμάνθυϊ·

οὐδεὶς γὰρ ἡμᾶς [ὅστις] ἐξαιρήσεται ...

**B 14** = Strabón, Geographica VIII, 31; 356

Εὐριπίδης ... ἐν Ῥαδαμάνθυϊ·

οἳ γῆν ἔχουσ᾽ Εὐβοΐδα πρόσχωρον πόλιν ...

**B 15** = Stobaios, Anthologium II, 8, 12; IV, 20; II, 61

Εὐριπίδου Ῥαδάμανθυς·

ἔρωτες ἡμῖν εἰσὶ παντοῖοι βίου·
ὁ μὲν γὰρ εὐγένειαν ἱμείρει λαβεῖν,
τῶι δ᾽ οὐχὶ τούτου φροντίς, ἀλλὰ χρημάτων
πολλῶν κεκλῆσθαι βούλεται πάτωρ δόμοις·
ἄλλωι δ᾽ ἀρέσκει μηδὲν ὑγιὲς ἐκ φρενῶν
λέγοντι πείθειν τοὺς πέλας τόλμηι κακῆι·
οἱ δ᾽ αἰσχρὰ κέρδη πρόσθε τοῦ καλοῦ βροτῶν
ζητοῦσιν· οὕτω βίοτος ἀνθρώπων πλάνη.
ἐγὼ [δὲ] τούτων οὐδενὸς χρήιζω τυχεῖν,
δόξαν δὲ βουλοίμην ἂν εὐκλείας ἔχειν.

ΠΕΙΡΙΘΟΟΣ

**B 16** = Grégorios Korinth., In Hermog. *B* 445, 7 Rabe

(καὶ Εὐριπίδης ᾽Ζεύς, ὡς λέλεκται᾽ ἀναφορά, ᾽τῆς ἀληθείας ὕπο᾽ βεβαίωσις)· οὗτος ὁ στίχος ἐν δυσὶν εὕρηται δράμασιν Εὐριπίδου, ἔν τε τῶι λεγομένωι Πειρίθωι καὶ ἐν τῆι Σοφῆι Μελανίππηι. ὧν καὶ τὰς ὑποθέσεις καὶ τὰ χωρία οὐκ ἄκαιρον ἐκθεῖναι τοῖς ἀσπαζομένοις τὴν πολυμάθειαν. ἡ μὲν οὖν τοῦ Πειρίθου ὑπόθεσίς ἐστιν αὕτη·

Πειρίθους ἐπὶ τῆι Περσεφόνης μνηστείαι μετὰ Θησέως εἰς Ἅιδου καταβὰς τιμωρίας ἔτυχε τῆς πρεπούσης· αὐτὸς μὲν γὰρ ἐπὶ πέτρας ἀκινήτωι καθέδραι

πεδηθεὶς δρακόντων ἐφρουρεῖτο χάσμασιν, Θησεὺς δὲ τὸν φίλον ἐγκαταλιπεῖν αἰσχρὸν ἡγούμενος βίου εἵλετο τὴν ἐν Ἅιδου ζωήν. ἐπὶ τὸν Κέρβερον δὲ Ἡρακλῆς ἀποσταλεὶς ὑπὸ Εὐρυσθέως τοῦ μὲν θηρίου βίαι περιεγένετο, τοὺς δὲ περὶ Θησέα χάριτι τῶν χθονίων θεῶν τῆς παρούσης ἀνάγκης ἐξέλυσεν, μιᾶι πράξει καὶ τὸν ἀνθιστάμενον χειρωσάμενος καὶ παρὰ θεῶν χάριν λαβὼν καὶ δυστυχοῦντας ἐλεήσας φίλους. εἰσάγεται γοῦν ἐν τούτωι τῶι δράματι Αἰακὸς πρὸς Ἡρακλέα λέγων·

ἔα, τί χρῆμα; δέρκομαι σπουδῆι τινα
δεῦρ᾽ ἐγκονοῦντα καὶ μάλ᾽ εὐτόλμωι φρενί.
εἰπεῖν δίκαιον, ὦ ξέν(ε), ὅστις ὢν τόπους
εἰς τούσδε χρίμπτηι καὶ καθ᾽ ἥντιν᾽ αἰτίαν.

εἶτα Ἡρακλῆς πρὸς αὐτόν (TGF p. 547, Eur. fr. 591 N2.)·

οὐδεὶς ὄκνος πάντ᾽ ἐκκαλύψασθαι λόγον·
ἐμοὶ πατρὶς μὲν Ἄργος, ὄνομα δ᾽ Ἡρακλῆς,
θεῶν δὲ πάντων πατρὸς ἐξέφυν Διός·
ἐμῆι γὰρ ἦλθε μητρὶ κεδνὸν εἰς λέχος
Ζεύς, ὡς λέλεκται τῆς ἀληθείας ὕπο.
ἥκω δὲ δεῦρο πρὸς βίαν, Εὐρυσθέως
ἀρχαῖς ὑπείκων, ὅς μ᾽ ἔπεμψ(ε) Ἅιδου κύνα
ἄγειν κελεύων ζῶντα πρὸς Μυκηνίδας
πύλας, ἰδεῖν μὲν οὐ θέλων, ἆθλον δέ μοι
ἀνήνυτον τόνδ᾽ ᾤιετ᾽ ἐξηυρηκέναι.
τοιόνδ᾽ ἰχνεύων πρᾶγος Εὐρώπης κύκλωι
᾽Ασίας τε πάσης ἐς μυχοὺς ἐλήλυθα.

**B 17** = Athénaios, Deipnosophistae XI, 496a (XI, 93 Kaibel)

πλημοχόη ... χρῶνται δὲ [τῶι σκεύει] ἐν Ἐλευσῖνι τῆι τελευταίαι τῶν μυστηρίων ἡμέραι, ἣν καὶ ἀπ᾽ αὐτοῦ προσαγορεύουσι Πλημοχόας ... μνημονεύει αὐτῶν καὶ ὁ τὸν Πειρίθουν γράψας εἴτε Κριτίας ἐστὶν ὁ τύραννος ἢ Εὐριπίδης λέγων οὕτως·

ἵνα πλημοχόας τάσδ᾽ εἰς χθόνιον

χάσμ᾽ εὐφήμως προχέωμεν.

**B 18** /1 = Kléméns Alex., Stromata V, 35,5-36,1 (př. Matyáš Havrda)

(35,5) Vše, co je psáno o arše úmluvy, ukazuje skutečnosti inteligibilního světa, který je skrytý a nedostupný davu. (6) Sochy ze zlata, každá se šesti křídly, představují podle jednoho výkladu dvě medvědice, ale spíše dvě hemisféry. Jméno *cherubím* pak znamená „velké poznání“. (7) Dohromady mají dvanáct křídel, čímž odkazují ke zvěrokruhu a jím řízenému času, a tudíž označují smyslový svět. (36,1) Tragédie podle mne podává jejich fyzikální interpretaci v následujících verších:

Čas, který nezná únavu,
v kruhovém běhu bez konce
naplněn věčným prouděním
rodí sám sebe. Na nebi
krouží dvojice Medvědic,
na rychlých křídlech hlídají
Atlantův pól.

(35,5) τά τε ἐπὶ τῆς ἁγίας κιβωτοῦ ἱστορούμενα μηνύει τὰ τοῦ νοητοῦ κόσμου τοῦ ἀποκεκρυμμένου καὶ ἀποκεκλεισμένου τοῖς πολλοῖς. (6) ναὶ μὴν καὶ τὰ χρυσᾶ ἐκεῖνα ἀγάλματα, ἑξαπτέρυγον ἑκάτερον αὐτῶν, εἴτε τὰς δύο ἄρκτους, ὡς βούλονταί τινες, ἐμφαίνει, εἴτε, ὅπερ μᾶλλον, τὰ δύο ἡμισφαίρια, ἐθέλει δὲ τὸ ὄνομα τῶν Χερουβὶμ δηλοῦν ἐπίγνωσιν πολλήν. (7) ἀλλὰ δώδεκα πτέρυγας ἄμφω ἔχει καὶ διὰ τοῦ ζῳδιακοῦ κύκλου καὶ τοῦ κατ' αὐτὸν φερομένου χρόνου τὸν αἰσθητὸν κόσμον δηλοῖ. (36,1) περὶ τούτων οἶμαι καὶ ἡ τραγῳδία φυσιολογοῦσά φησιν·

ἀκάμας τε χρόνος περί τ' ἀενάῳ
ῥεύματι πλήρης φοιτᾷ τίκτων
αὐτὸς ἑαυτόν, δίδυμοί τ' ἄρκτοι
ταῖς ὠκυπλάνοις πτερύγων ῥιπαῖς
τὸν Ἀτλάντειον τηροῦσι πόλον.

**B 18** /2 = Schol. Aristoph. Av. 179

πόλον γὰρ οἱ παλαιοὶ οὐχ ὡς οἱ νεώτεροι σημεῖόν τι καὶ πέρας ἄξονος, ἀλλὰ τὸ περιέχον ἅπαν. Εὐριπίδης Πειρίθωι ᾿καὶ τὸν ᾿Ατλάντιον φρουρῶν πόλον᾿, ὡς αὐτοῦ τε περιπολουμένου καὶ δι᾿ αὐτοῦ πάντων ἐρχομένων.

ἀκάμας τε χρόνος περί τ᾿ ἀενάωι
ῥεύματι πλήρης φοιτᾶι τίκτων
αὐτὸς ἑαυτόν, δίδυμοί τ᾿ ἄρκτοι
ταῖς ὠκυπλάνοις πτερύγων ῥιπαῖς
τὸν ᾿Ατλάντειον τηροῦσι πόλον.

῎Ατλας δὲ ὁ μὴ πάσχων πόλος δύναται μὲν εἶναι καὶ ἡ ἀπλανὴς σφαῖρα, βέλτιον δὲ ἴσως αἰῶνα ἀκίνητον νοεῖσθαι.

**B 19** = Kléméns Alex., Stromata V, 114,2-3 (zčásti podle př. Matyáše Havrdy)

V dramatu *Peirithoos* týž autor [Eurípidés] přednáší (Eurípidés fr 593 Nauck):

Tebe, přirozeně svébytného, který v aithérném
rhymbu přirozenost všech [věcí] prolétáš,
ve stálém tanci kruhovém
střídá se světlo se šerem
třpytivé noci s průvodem
nesčetných hvězdných zástupů.

(3) Tím „přirozeně svébytným” zde má na mysli stvořitele, intelekt, vše ostatní se týká kosmu, v němž jsou protiklady světla a tmy.

ἐν δὲ τῶι Πειρίθωι δράματι ὁ αὐτὸς καὶ τάδε τραγωιδεῖ (Euripides fr 593 Nauck)·

σὲ τὸν αὐτοφυῆ, τὸν ἐν αἰθερίωι
ῥύμβωι πάντων φύσιν ἐμπλέξαντα,
ὃν πέρι μὲν φῶς, πέρι δ᾿ ὀρφναία
νὺξ αἰολόχρως ἄκριτός τ᾿ ἄστρων
ὄχλος ἐνδελεχῶς ἀμφιχορεύει.

(3) ἐνταῦθα γὰρ τὸν μὲν αὐτοφυῆ τὸν δημιουργὸν νοῦν εἴρηκεν, τὰ δ᾿ ἑξῆς ἐπὶ τοῦ κόσμου τάσσεται, ἐν ὧι καὶ [αἱ] ἐναντιότητες φωτός τε καὶ σκότους.

**B 20** = Plútarchos, de amic. mult. 7 p. 96c

ἔνιοι τῶν φίλων οὐθὲν ἀπολαύσαντες εὐτυχούντων συναπόλλυνται δυστυχοῦσι. καὶ τοῦτο μάλιστα πάσχουσιν οἱ φιλόσοφοι καὶ χαρίεντες, ὡς Θησεὺς τῶι Πειρίθωι κολαζομένωι καὶ δεδεμένωι·

αἰδοῦς ἀχαλκεύτοισιν ἔζευκται πέδαις.

**B 21** = Stobaios, Anthologium II, 8, 4

Εὐριπίδου Πειρίθωι·

ὁ πρῶτος εἰπὼν οὐκ ἀγυμνάστωι φρενί
ἔρριψεν, ὅστις τόνδ᾽ ἐκαίνισεν λόγον,
ὡς τοῖσιν εὖ φρονοῦσι συμμαχεῖ τύχη.

**B 22** = Stobaios, Anthologium III 37, 15

Πειρίθου.

τρόπος δὲ χρηστὸς ἀσφαλέστερος νόμου·

τὸν μὲν γὰρ οὐδεὶς ἂν διαστρέψαι ποτέ
ῥήτωρ δύναιτο, τὸν δ᾽ ἄνω τε καὶ κάτω
λόγοις ταράσσων πολλάκις λυμαίνεται.

**B 23** = Stobaios, Anthologium IV, 53, 23

Εὐριπίδου Πειρίθωι·

οὐκ οὖν τὸ μὴ ζῆν κρεῖσσόν ἐστ᾽ ἢ ζῆν κακῶς;

**B 25 tit**

ΣΙΣΥΦΟΣ ΣΑΤΥΡΙΚΟΣ

**B 25** /1 = Sextos Empeirikos, Adversus mathematicos IX, 54

καὶ Κριτίας δὲ εἷς τῶν ἐν Ἀθήναις τυραννησάντων δοκεῖ ἐκ τοῦ τάγματος τῶν ἀθέων ὑπάρχειν φάμενος, ὅτι οἱ παλαιοὶ νομοθέται ἐπίσκοπόν τινα τῶν ἀνθρωπίνων κατορθωμάτων καὶ ἁμαρτημάτων ἔπλασαν τὸν θεὸν ὑπὲρ τοῦ μηδένα λάθραι τὸν πλησίον ἀδικεῖν, εὐλαβούμενον τὴν ὑπὸ τῶν θεῶν τιμωρίαν. ἔχει δὲ παρ᾽ αὐτῶι τὸ ῥητὸν οὕτως· ᾽ἦν ... γένος.᾽

**B 25** /2 = Áetios I, 7, 2 (Dox. 298)
καὶ Εὐριπίδης δὲ ὁ τραγωιδοποιὸς ἀποκαλύψασθαι μὲν οὐκ ἠθέλησε δεδοικὼς τὸν Ἄρειον πάγον, ἐνέφηνε δὲ τοῦτον τὸν τρόπον· τὸν γὰρ Σίσυφον εἰσήγαγε προστάτην ταύτης τῆς δόξης καὶ συνηγόρησεν αὐτοῦ ταύτηι τῆι γνώμηι· ᾽ἦν γὰρ χρόνος, φησίν, ὅτ᾽ ... ὑπηρέτης᾽ (1. 2). ἔπειτά φησι τὴν ἀνομίαν λυθῆναι νόμων εἰσαγωγῆι· ἐπεὶ γὰρ ὁ νόμος τὰ φανερὰ τῶν ἀδικημάτων εἴργειν ἠδύνατο, κρύφα δὲ ἠδίκουν πολλοί, τότε τις σοφὸς ἀνὴρ ἐπέστησεν. ὡς δεῖ ψευδεῖ λόγωι τυφλῶσαι τὴν ἀλήθειαν καὶ πεῖσαι τοὺς ἀνθρώπους, ὡς ἔστι ... βίωι, ὃς ταῦτ᾽ ἀκούει καὶ βλέπει φρονεῖ τ᾽ ἄγαν᾽ (17. 18.).

**B 25** /3 = Áetios I, 6, 7 (Dox. 294)
ὅθεν καὶ Εὐριπίδης φησί· ᾽τό τ᾽ ἀστερωπὸν οὐρανοῦ σέλας χρόνου ... σοφοῦ᾽ (33. 34).

**B 25**

ἦν χρόνος, ὅτ᾽ ἦν ἄτακτος ἀνθρώπων βίος
καὶ θηριώδης ἰσχύος θ᾽ ὑπηρέτης,
ὅτ᾽ οὐδὲν ἆθλον οὔτε τοῖς ἐσθλοῖσιν ἦν
οὔτ᾽ αὖ κόλασμα τοῖς κακοῖς ἐγίγνετο.
κἄπειτά μοι δοκοῦσιν ἄνθρωποι νόμους
θέσθαι κολαστάς, ἵνα δίκη τύραννος ἦι
[ὁμῶς ἁπάντων] τήν θ᾽ ὕβριν δούλην ἔχηι
ἐζημιοῦτο δ᾽ εἴ τις ἐξαμαρτάνοι.

ἔπειτ᾽ ἐπειδὴ τἀμφανῆ μὲν οἱ νόμοι
ἀπεῖργον αὐτοὺς ἔργα μὴ πράσσειν βίαι,
λάθραι δ᾽ ἔπρασσον, τηνικαῦτά μοι δοκεῖ
[πρῶτον] πυκνός τις καὶ σοφὸς γνώμην ἀνήρ [γνῶναι]
[θεῶν] δέος θνητοῖσιν ἐξευρεῖν, ὅπως
εἴη τι δεῖμα τοῖς κακοῖσι, κἂν λάθραι
πράσσωσιν ἢ λέγωσιν ἢ φρονῶσί [τι].
ἐντεῦθεν οὖν τὸ θεῖον εἰσηγήσατο,
ὡς ἔστι δαίμων ἀφθίτωι θάλλων βίωι,
νόωι τ᾽ ἀκούων καὶ βλέπων, φρονῶν τ᾽ ἄγαν
προσέχων τε ταῦτα, καὶ φύσιν θείαν φορῶν,
ὃς πᾶν τὸ λεχθὲν ἐν βροτοῖς ἀκούσεται,
[τὸ] δρώμενον δὲ πᾶν ἰδεῖν δυνήσεται.
ἐὰν δὲ σὺν σιγῆι τι βουλεύῃις κακόν,
τοῦτ᾽ οὐχὶ λήσει τοὺς θεούς· τὸ γὰρ φρονοῦν
[ἄγαν] ἔνεστι. τούσδε τοὺς λόγους λέγων
διδαγμάτων ἥδιστον εἰσηγήσατο
ψευδεῖ καλύψας τὴν ἀλήθειαν λόγωι.
ναίειν δ᾽ ἔφασκε τοὺς θεοὺς ἐνταῦθ᾽, ἵνα
μάλιστ᾽ ἂν ἐξέπληξεν ἀνθρώπους λέγων,
ὅθεν περ ἔγνω τοὺς φόβους ὄντας βροτοῖς
καὶ τὰς ὀνήσεις τῶι ταλαιπώρωι βίωι,
ἐκ τῆς ὕπερθε περιφορᾶς, ἵν᾽ ἀστραπάς
κατεῖδεν οὔσας, δεινὰ δὲ κτυπήματα
βροντῆς, τό τ᾽ ἀστερωπὸν οὐρανοῦ δέμας,
Χρόνου καλὸν ποίκιλμα τέκτονος σοφοῦ,
ὅθεν τε λαμπρὸς ἀστέρος στείχει μύδρος
ὅ θ᾽ ὑγρὸς εἰς γῆν ὄμβρος ἐκπορεύεται.
τοίους δὲ περιέστησεν ἀνθρώποις φόβους,

δι᾿ οὓς καλῶς τε τῶι λόγωι κατώικισεν
τὸν δαίμον[α] οὗ[τος] κὰν πρέποντι χωρίωι,
τὴν ἀνομίαν τε τοῖς νόμοις κατέσβεσεν.
καὶ ὀλίγα προσδιελθὼν ἐπιφέρει·
οὕτω δὲ πρῶτον οἴομαι πεῖσαί τινα
θνητοὺς νομίζειν δαιμόνων εἶναι γένος.

**B 26** = Stobaios, Anthologium I, 8, 11

μετὰ τὴν σκιὰν τάχιστα γηράσκει χρόνος.

**B 27** = Stobaios, Anthologium III, 14, 2

Κριτίου.

ὅστις δὲ τοῖς φίλοισι πάντα πρὸς χάριν
πράσσων ὁμιλεῖ, τὴν παραυτίχ᾿ ἡδονὴν
ἔχθραν καθίστησ᾿ εἰς τὸν ὕστερον χρόνον.

**B 28** = Stobaios, Anthologium III, 23, 1

Κριτίου.

δεινὸν δ᾿ ὅταν τις μὴ φρονῶν δοκῆι φρονεῖν.

**B 29** = Stobaios, Anthologium IV, 33, 10

Κριτίου.

σοφῆς δὲ πενίας σκαιότητα πλουσίαν
κρεῖσσον σύνοικόν ἐστιν ἐν δόμοις ἔχειν;

**B 30 tit**

[ΠΟΛΙΤΕΙΑ ΑΘΗΝΑΙΩΝ]

**B 31 tit**

ΠΟΛΙΤΕΙΑ ΘΕΤΤΑΛΩΝ

**B 31** = Athénaios, Deipnosophistae XIV, 662f (XIV, 83 Kaibel)

ὁμολογοῦνται δ᾽ οἱ Θετταλοὶ πολυτελέστατοι τῶν Ἑλλήνων γεγενῆσθαι περί τε τὰς ἐσθῆτας καὶ τὴν δίαιταν· ὅπερ αὐτοῖς αἴτιον ἐγένετο καὶ τοῦ κατὰ τῆς Ἑλλάδος ἐπαγαγεῖν τοὺς Πέρσας, ἐζηλωκόσι τὴν τούτων τρυφὴν καὶ πολυτέλειαν.

ἱστορεῖ δὲ περὶ τῆς πολυτελείας αὐτῶν καὶ Κριτίας ἐν τῆι Πολιτείαι αὐτῶν.

ΠΟΛΙΤΕΙΑ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ

**B 32** = Kléméns Alex., Stromata VI, 9,1-2 (př. Miroslav Šedina)

To, co Eurípidés vyjadřuje básnicky:

Nejlepší děti pocházejí z rodičů,
kteří se pracně protloukají životem, (*Melagros* fr. 524,4n. Nauck)

(2) píše také Kritiás: „Začnu narozením člověka. Jak by se stal tělesně nejzdatnější a nejsilnější? Tehdy, kdyby jeho rodič sportoval, dobře jedl a otužoval své tělo, a kdyby také matka očekávaného potomka měla silnou tělesnou konstituci a provozovala tělesná cvičení.

πάλιν Εὐριπίδου ποιήσαντος·

ἐκ γὰρ πατρὸς καὶ μητρὸς ἐκπονουμένων
σκληρὰς διαίτας οἱ γόνοι βελτίονες. (*Melagros* fr. 525,4 Nauck)

Κριτίας γράφει· „ἄρχομαι δέ τοι ἀπὸ γενετῆς ἀνθρώπου· πῶς ἂν βέλτιστος τὸ σῶμα γένοιτο καὶ ἰσχυρότατος; εἰ ὁ φυτεύων γυμνάζοιτο καὶ ἐσθίοι ἐρρωμένως καὶ ταλαιπωροίη τὸ σῶμα καὶ ἡ μήτηρ τοῦ παιδίου τοῦ μέλλοντος ἔσεσθαι ἰσχύοι τὸ σῶμα καὶ γυμνάζοιτο."

**B 33** = Athénaios, Deipnosophistae XI, 463e (XI, 10 Kaibel)

τρόποι εἰσὶ πόσεων κατὰ πόλεις ἴδιοι, ὡς Κριτίας παρίστησιν ἐν τῆι Λακεδαιμονίων Πολιτείαι διὰ τούτων·

ὁ μὲν Χῖος καὶ Θάσιος ἐκ μεγάλων κυλίκων ἐπὶ δεξιά, ὁ δ᾽ ᾽Αττικὸς ἐκ μικρῶν ἐπὶ δεξιά, ὁ δὲ Θετταλικὸς ἐκπώματα προπίνει ὅτωι ἂν βούλωνται μεγάλα. Λακεδαιμόνιοι δὲ τὴν παρ᾽ αὑτῶι ἕκαστος πίνει, ὁ δὲ παῖς ὁ οἰνοχόος [ἐπιχεῖ] ὅσον ἂν ἀποπίηι.

**B 34** /1 = Athénaios, Deipnosophistae XI, 483b (XI, 68 Kaibel)

Κριτίας δ᾽ ἐν Λακεδαιμονίων πολιτείαι γράφει οὕτως·

χωρὶς δὲ τούτων τὰ σμικρότατα ἐς τὴν δίαιταν, ὑποδήματα ἄριστα Λακωνικὰ [καὶ] ἱμάτια φορεῖν ἥδιστα καὶ χρησιμώτατα· κώθων Λακωνικὸς ἔκπωμα ἐπιτηδειότατον εἰς στρατείαν καὶ εὐφορώτατον ἐν γυλιῶι· οὗ δὲ ἕνεκα στρατιωτικόν, [δηλώσω· στρατιώτηι] πολλάκις ἀνάγκη ὕδωρ πίνειν οὐ καθαρόν. πρῶτον μὲν οὖν τὸ μὴ λίαν κατάδηλον εἶναι τὸ πόμα· εἶτα ἄμβωνας ὁ κώθων ἔχων ὑπολείπει τὸ οὐ καθαρὸν ἐν αὑτῶι.

**B 34** /2 = Plútarchos, Lyc. 9, 7

διὸ καὶ τὰ πρόχειρα τῶν σκευῶν καὶ ἀναγκαῖα ταῦτα, κλιντῆρες καὶ δίφροι καὶ τράπεζαι, βέλτιστα παρ᾽ αὐτοῖς ἐδημιουργεῖτο, καὶ κώθων ὁ Λακωνικὸς εὐδοκίμει μάλιστα πρὸς τὰς στρατείας, ὥς φησι Κριτίας· τὰ γὰρ ἀναγκαίως πινόμενα τῶν ὑδάτων καὶ δυσωποῦντα τὴν ὄψιν ἀπεκρύπτετο τῆι χρόαι, καὶ τοῦ θολεροῦ προσκόπτοντος ἐντὸς καὶ προσισχομένου τοῖς ἄμβωσι καθαρώτερον ἐπλησίαζε τῶι στόματι τὸ πινόμενον.

**B 34** /3 = Pollux, Onomasticon VI, 97

κώθων Λακωνικόν ὑἔκπωμα)·

τοῦ δὲ κώθωνος αἱ ἑκατέρωθεν πλευραὶ ὥσπερ καὶ τῆς χύτρας ἄμβωνες καλοῦνται.

**B 35** /1 = Athénaios, Deipnosophistae XI, 486e (XI, 72 Kaibel)

Κριτίας τε ἐν τῆι Λακεδαιμονίων Πολιτείαι·

κλίνη Μιλησιουργὴς καὶ δίφρος Μιλησιουργής, κλίνη Χιουργὴς καὶ τράπεζα Ῥηνειοεργής.

**B 35** /2 = Harpokratión, Lexicon in decem oratores Atticos s.v. Λυκιουργεῖς

Λυκιουργεῖς· ἀγνοεῖν δὲ ἔοικεν ὁ γραμματικὸς ὅτι τὸν τοιοῦτον σχηματισμὸν ἀπὸ κυρίων ὀνομάτων οὐκ ἄν τις εὕροι γινόμενον, μᾶλλον δὲ ἀπὸ πόλεων καὶ ἐθνῶν· ᾿κλίνη Μιλησιουργής᾿ Κριτίας φησὶν ἐν τῆι Λακεδαιμονίων πολιτείαι.

**B 36** = Eustathios, Commentarii ad Homeri Odysseam, in θ 376; 1601, 25 (= I, 304 Stallbaum)

καὶ ἦν ἔθος παλαιὸν οὕτω παίζειν καὶ ἐπεχωρίαζε, φασί, Λακεδαιμονίοις ἀγὼν τὰ σφαιρομάχια ... σημείωσαι δὲ καὶ ὅτι ὀρχήσεως εἶδος ἦν καὶ ἡ τοιαύτη διὰ σφαίρας παιδιά, ὡς δηλοῖ καὶ ὁ οὕτω γράψας· θερμαΰστρὶς ὄρχησις διὰ ποδῶν σύντονος. φησὶ γοῦν Κριτίας οὕτω·

ἀναπηδήσαντες εἰς ὕψος πρὸ τοῦ κατενεχθῆναι ἐπὶ γῆν παραλλαγὰς πολλὰς τοῖς ποσὶν ἐποίουν, ὃ δὴ θερμαΰστρίζειν ἔλεγον.

**B 37** = Libanios, Or. 25, 63 (II, 567 Förster)

οἱ Λακεδαιμόνιοι οἱ κατὰ τῶν εἱλώτων ἐξουσίαν σφίσιν αὐτοῖς ἀνοίγοντες φόνου, καὶ περὶ ὧν Κριτίας φησίν, ὡς μάλιστα δοῦλοί τε ἐν Λακεδαίμονι καὶ ἐλεύθεροι. τί δ᾿ ἄλλο γε ἢ ὅπερ αὐτὸς ὁ Κριτίας φησίν, ὡς ἀπιστίας εἵνεκα τῆς πρὸς τοὺς εἵλωτας τούτους ἐξαιρεῖ μὲν Σπαρτιάτης οἴκοι τῆς ἀσπίδος τὸν πόρπακα. τοῦτο δὲ οὐκ ἔχων ἐπὶ τῆς στρατείας ποιεῖν διὰ τὸ δεῖν πολλάκις ὀξύτητος, τὸ δόρυ ἔχων ἀεὶ περιέρχεται, ὡς κρείττων γε ταύτηι τοῦ εἵλωτος ἐσόμενος, ἣν ἀπὸ μόνης νεωτερίζηι τῆς ἀσπίδος. μεμηχάνηνται δὴ καὶ κλεῖδας, ἃς οἴονται τῆς παρ᾿ ἐκείνων ἐπιβουλῆς ἰσχυροτέρας εἶναι. (64) ταυτὶ δ᾿ ἂν εἴη συνοικούντων τε φόβωι καὶ μηδ᾿ ἀναπνεῖν ἐωμένων ὑπὸ τῶν ἐν ταῖς ἐλπίσι δεινῶν. οὓς οὖν ἀριστοποιουμένους καὶ καθεύδοντας καὶ ἐπ᾿ ἄλλο τι βαδίζοντας τὸ δεῖμα τῶν οἰκετῶν ὁπλίζει, πῶς ἂν οὗτοί γε, ὦ παῖ Καλλαίσχρου, καθαρᾶς ἀπολαύσειαν

τῆς ἐλευθερίας, οἷς ἐπέθεντο μὲν μετὰ τοῦ Ποσειδῶνος οἱ δοῦλοι, δεῖγμα δὲ ἐξενηνόχεσαν, ὡς ἐν ὁμοίοις καιροῖς ὅμοια δράσουσιν. ὥσπερ οὖν οἱ βασιλεῖς αὐτοῖς οὐ μάλα ἦσαν ἐλεύθεροι τοῖς ἐφόροις δεδομένου δῆσαί τε βασιλέα καὶ κτεῖναι, οὕτω σύμπαντες οἱ Σπαρτιᾶται τὴν ἐλευθερίαν ἀφῄρηντο συζῶντες ἔχθει τῶι παρὰ τῶν οἰκετῶν.

**B 38** = Pollux, Onomasticon VII, 59
τὰς δὲ ἀναξυρίδας καὶ σκελέας καλοῦσιν· τὸ μὲν ὄνομα καὶ παρὰ Κριτίαι ἔστιν ἐν ταῖς Πολιτείαις.

ΑΦΟΡΙΣΜΩΝ Α, Β ...

**B 39** /1 = Galénos, In Hippocratis librum de officina medici comm. I, 1
(ἃ καὶ τῆι ὄψει καὶ τῆι ἁφῆι καὶ τῆι ἀκοῆι καὶ τῆι ῥινὶ καὶ τῆι γλώσσηι καὶ τῆι γνώμηι ἔστιν αἰσθέσθαι.)

**B 39** /2 = Galénos, In Hippocratis librum de officina medici comm. XVIIIb, 654
Κριτίας ἔστι δὲ ἡ τοιαύτη τῆς αἰσθήσεως ἐξήγησις τοῦ σημαινομένου (τοῦ αἰσθέσθαι) Στωική. διὸ καὶ [ὁ] τοῦ Κυΐντου μαθητὴς Αἰφικιανὸς αὐτὴν προσήκατο τὴν Στωικὴν ἀσπαζόμενος φιλοσοφίαν ...

**B 39** /3 = Galénos, In Hippocratis librum de officina medici comm. XVIIIb, 655, 7
συγκεχρῆσθαι γάρ φησι τῆι τοῦ ʾαἰσθέσθαιʾ φωνῆι τὸν Ἱπποκράτην κατὰ τῆς ʾγνώμηςʾ ..

**B 39** /4 = Galénos, In Hippocratis librum de officina medici comm. XVIIIb, 656, 2 Kühn
μέμνηται δὲ καὶ περὶ τοῦ τῆς ʾγνώμηςʾ ὀνόματος εἰπὼν ὡς ἐπὶ τῶν παλαιῶν ἐν ἴσωι τῶι ʾνοῦʾ ἢ ʾδιανοίαςʾ, εἰ μὴ καὶ ʾἐννοήσεωςʾ, ἐλέγετο. πολλῶν οὖν ὄντων εἰς

τοῦτο μαρτυρίων ὀλίγα παραθήσομαι. Κριτίας μὲν ἐν τῶι πρώτωι ᾿Αφορισμῶι τάδε γράφει·

μήτε ἃ τῶι ἄλλωι σώματι αἰσθάνεται μηδὲ ἃ τῆι γνώμηι γιγνώσκει.

καὶ πάλιν·

γιγνώσκουσιν οἱ ἄνθρωποι εἰθισμένοι ὑγιαίνειν τῆι γνώμηι.

ΟΜΙΛΙΩΝ ΑΒ

**B 40** = Galénos, In Hippocratis librum de officina medici comm. XVIIIb, 656, 8

καὶ ἐν ῾Ομιλιῶν προτέρωι· ᾿εἰ δ᾿ αὐτὸς ἀσκήσειας, ὅπως γνώμηι ἔσηι ἱκανός, ἥκιστα ἂν οὕτως ὑπ᾿ αὐτῶν ἂν ἀδικηθείης᾿ καὶ πολλάκις ἐν τῶι αὐτῶι καὶ ἐν τῶι δευτέρωι δὲ τῶν ῾Ομιλιῶν ἀντιδιαιρῶν ταῖς αἰσθήσεσι τὴν γνώμην πολλάκις εἴρηκεν ὥσπερ καὶ ὁ ᾿Αντιφῶν ...

**B 41** = Hérodianos, π. μον. λέξ. 40, 14

τὸ δὲ παρὰ Κριτίαι ἐν ταῖς ῾Ομιλίαις ᾿ὀρσότης᾿ ἀντὶ τοῦ ὁρμή παράσημον.

**B 41a** = Platón, Charmides 161b

ἄρτι γὰρ ἀνεμνήσθην, ὃ ἤδη του ἤκουσα λέγοντος, ὅτι σωφροσύνη ἂν εἴη τὰ ἑαυτοῦ πράττειν.

ΠΕΡΙ ΦΥΣΕΩΣ ΕΡΩΤΟΣ Η ΑΡΕΤΩΝ

**B 42** = Galénos, Lex. Hippocr. XIX, 94 Kühn (= Linguarum seu dictionum exoletarum Hippocratis explicatio)

δυσανίης· Κριτίας ἐν τῶι Περὶ φύσεως ἔρωτος ἢ ἀρετῶν οὕτως ἐξηγεῖται τοὔνομα· δυσάνιος δέ ἐστιν, ὅστις ἐπὶ τοῖς σμικροῖς ἀνιᾶται καὶ ἐπὶ τοῖς μεγάλοις μᾶλλον ἢ οἱ ἄλλοι ἄνθρωποι ἢ πλείω χρόνον.

**B 43**

ΔΗΜΗΓΟΡΙΚΑ ΠΡΟΟΙΜΙΑ

**B 44** = Ailiános, Varia historia X, 13

αἰτιᾶται Κριτίας ᾿Αρχίλοχον, ὅτι κάκιστα ἑαυτὸν εἶπεν.

εἰ γὰρ μή, φησίν, ἐκεῖνος τοιαύτην δόξαν ὑπὲρ ἑαυτοῦ εἰς τοὺς Ἕλληνας ἐξήνεγκεν, οὐκ ἂν ἐπυθόμεθα ἡμεῖς οὔτε ὅτι ᾿Ενιποῦς υἱὸς ἦν τῆς δούλης οὔθ᾿ ὅτι καταλιπὼν Πάρον διὰ πενίαν καὶ ἀπορίαν ἦλθεν εἰς Θάσον οὔθ᾿ ὅτι ἐλθὼν τοῖς ἐνταῦθα ἐχθρὸς ἐγένετο οὐδὲ μὴν ὅτι ὁμοίως τοὺς φίλους καὶ τοὺς ἐχθροὺς κακῶς ἔλεγε. πρὸς δὲ τούτοις, ἦ δ᾿ ὅς, οὔτε ὅτι μοιχὸς ἦν, ἤιδειμεν ἄν, εἰ μὴ παρ᾿ αὐτοῦ μαθόντες, οὔτε ὅτι λάγνος καὶ ὑβριστής, καὶ τὸ ἔτι τούτων αἴσχιστον, ὅτι τὴν ἀσπίδα ἀπέβαλεν. οὐκ ἀγαθὸς ἄρα ἦν ὁ ᾿Αρχίλοχος μάρτυς ἑαυτῶι τοιοῦτον κλέος ἀπολιπὼν καὶ τοιαύτην ἑαυτῶι φήμην.

ταῦτα οὐκ ἐγὼ ᾿Αρχίλοχον αἰτιῶμαι, ἀλλὰ Κριτίας.

**B 45** = Ailiános, Varia historia X, 17

λέγει Κριτίας Θεμιστοκλέα τὸν Νεοκλέους πρὶν ἢ ἄρξασθαι πολιτεύεσθαι τρία τάλαντα ἔχειν τὴν οὐσίαν τὴν πατρώιαν· ἐπεὶ δὲ τῶν κοινῶν προέστη, εἶτα ἔφυγε καὶ ἐδημεύθη αὐτοῦ ἡ οὐσία, κατεφωράθη ἑκατὸν ταλάντων πλείω οὐσίαν ἔχων. ὁμοίως δὲ καὶ Κλέωνα πρὸ τοῦ παρελθεῖν ἐπὶ τὰ κοινὰ μηδὲν τῶν οἰκείων ἐλεύθερον εἶναι, μετὰ δὲ πεντήκοντα ταλάντων τὸν οἶκον ἀπέλιπεν.

**B 46** = Aristidés, Ars rhet. II, 15 Schm.

εἰ δὲ ἀπὸ ὀνόματος ἤρξατο αὐτῶι [ὁ] λόγος ἀποφαντικοῦ οἷον ᾿δοκεῖ δ᾿ ἔμοι γε᾿, σκληρότερος ἂν ἐγένετο ὁ λόγος καὶ μᾶλλον Κριτίου ἔδοξεν ἂν εἶναι ἢ τινος τῶν τοιούτων.

**B 47** = Aristidés, Ars rhet. 50

εἰ δὲ σὺ τὸ ἐναντίον συλλαβὼν ἔλεγες ὡσεὶ ᾿ὅσοι μὲν τοὺς τοιούτους ἐγλέγονται, οὓς ἂν ὁρῶσιν ἀρχαῖς τε καὶ τιμαῖς καὶ τοιαύταις δυνάμεσι πλέον τι τῶν ἄλλων ὑπεραίροντας, οὔ μοι δοκοῦσιν ὀρθῶς ποιεῖν᾿, Κριτίου μᾶλλον ὁ τοιοῦτος τρόπος ἔδοξεν [ἂν] εἶναι ἤ τινος τῶν ἀρχαίων σοφιστῶν.

**B 48** = Dión Chrysostomos 21, 3 (II, 267 Arn.)
ἢ οὐκ οἶσθα Κριτίαν τὸν τῶν τριάκοντα, ὅτι κάλλιστον ἔφη εἶδος ἐν τοῖς ἄρρεσι τὸ θῆλυ, ἐν δ᾿ αὖ ταῖς θηλείαις τοὐναντίον; οὐκοῦν δικαίως ᾿Αθηναῖοι νομοθέτην αὐτὸν εἵλοντο ἐπί γε τῶι μεταγράψαι τοὺς παλαιοὺς νόμους, ὃς οὐδένα αὐτῶν ἔλιπεν.

**B 49** = Pseudo-Dionýsios, Ars rhet. 6; II, 277, 10 Us.–Rad.
ἀνθρώπωι γὰρ γενομένωι κατὰ τὸν τοῦ Καλλαίσχρου τὸν τῶν τριάκοντα βέβαιον μὲν οὐδέν, εἰ μὴ τό τε καταθανεῖν γενομένωι καὶ ζῶντι μὴ οἷόν τε ἐκτὸς ἄτης βαίνειν ...

**B 50** = Filostratos, Vitae Sophistarum pr. p. 1, 9 K.
οἶδα γὰρ δὴ καὶ Κριτίαν τὸν σοφιστὴν οὐκ ἐκ πατέρων, ἀλλὰ ῾Ομήρου δὴ μόνου σὺν τῶι πατρὶ ἐπιμνησθέντα, ἐπειδὴ θαῦμα δηλώσειν ἔμελλε πατέρα ῾Ομήρωι ποταμὸν εἶναι.

**B 51** = Planud., in Hermog. Rhet. V, 484 Walz
οἷον τῶι ἀγῶνι τῶν Πυθίων· τοῦτο κοινὸν καὶ εὐτελές, ἀλλὰ Κριτίας ἀναστρέψας εἶπε·
τῶι τῶν Πυθίων ἀγῶνι.

**B 52** = Plútarchos, Cim. 16
᾿Εφιάλτου δὲ κωλύοντος καὶ διαμαρτυρομένου μὴ βοηθεῖν μηδ᾿ ἀνιστάναι πόλιν ἀντίπαλον ἐπὶ τὰς ᾿Αθήνας, ἀλλ᾿ ἐᾶν κεῖσθαι καὶ πατηθῆναι τὸ φρόνημα τῆς Σπάρτης, Κίμωνά φησι Κριτίας τὴν τῆς πατρίδος αὔξησιν ἐν ὑστέρωι θέμενον

τοῦ Λακεδαιμονίων συμφέροντος ἀναπείσαντα τὸν δῆμον ἐξελθεῖν βοηθοῦντα μετὰ πολλῶν ὁπλιτῶν.

**B 53** = Pollux, Onomasticon II, 58

διοπτεύειν Κριτίας καὶ ᾿Αντιφῶν (87 B 6).

**B 54** = Pollux, Onomasticon II,122

παρὰ δὲ Κριτίαι καὶ λογεὺς ὁ ῥήτωρ.

**B 55** = Pollux, Onomasticon II, 148

ταχύχειρ ὡς Κριτίας.

**B 56** = Pollux, Onomasticon III, 116

καὶ ὡς Κριτίας ῥυπαρία.

**B 57** = Pollux, Onomasticon IV, 64

Κριτίαι τὰς πρὸς κιθάραν ὠιδὰς προσωιδίας ἀρέσκει καλεῖν.

**B 58** = Pollux, Onomasticon IV, 165

παρὰ Κριτίαι διδραχμιαῖοι.

**B 59** = Pollux, Onomasticon VI, 31

ἐπικωθωνίζεσθαι δὲ τὸ περαιτέρω πίνειν Κριτίας λέγει.

**B 60** = Pollux, Onomasticon V, 38

Κριτίας δὲ καὶ ὀψωνίας καὶ ὀψωνεῖν ἔφη, τὸ δὲ ὀψωνεῖν καὶ ὀψονομεῖν ὠνόμασεν.

**B 61** = Pollux, Onomasticon V, 52; V, 153

οἱ μὲν γὰρ ψευδομάρτυρες εἴρηνται παρὰ Κριτίαι καὶ ὁ ψευδομάρτυς οὐκ οἶδ᾿ ὅπου· καὶ τὸ ψευδομαρτυρεῖν ὁ αὐτός που λέγει.

**B 62** = Pollux, Onomasticon V, 194

διασκεδάννυσθαι ... ἢ διαπεφορῆσθαι, ὡς Κριτίας.

**B 63** = Pollux, Onomasticon V, 195

καὶ τὸ αὑτῶν μέρος, ὅσον ἐστὶν ἐπ᾽ αὐτοῖς, τὸ κατ᾽ αὐτούς, τὸ ἐπ᾽ αὐτοὺς ἧκον, τὸ ἐπ᾽ αὐτοῖς. Κριτίας δέ πού φησιν·

ἐπὶ τό γε [ἐπὶ τὸ] χρηστοὺς εἶναι.

**B 64** = Pollux, Onomasticon VII, 78

οἱ δὲ τὰς ἐσθῆτας πιπράσκοντες ἱματιοπῶλαι Κριτίου τῶι ὀνόματι χρησαμένου.

**B 65** = Pollux, Onomasticon VII, 91

ἃ δὲ ποδεῖα Κριτίας καλεῖ, εἴτε πίλους αὐτὰ οἰητέον εἴτε περιειλήματα ποδῶν, ταῦτα πέλλυτρα καλεῖ ἐν Φρυξὶν Αἰσχύλος (fr. 259 N.).

**B 66** = Pollux, Onomasticon VII, 108

δακτυλιογλύφοι· τὸ ὄνομα παρὰ Κριτίαι.

**B 67** = Pollux, Onomasticon VII, 154

χορδοπώλης, ὡς Κριτίας λέγει.

**B 68** = Pollux, Onomasticon VII, 177

μυρεψός. Κριτίας γὰρ οὕτως ὠνόμασεν.

**B 69** = Pollux, Onomasticon VII, 179

κεκρυφαλοπλόκος, ὡς Κριτίας ἔφη.

**B 70** = Pollux, Onomasticon VII, 196. 197

τὰ δ᾽ ἐφεξῆς τὰ μὲν πλεῖστα Κριτίας. λέγει, πολλοὶ δὲ καὶ τῶν μᾶλλον αὐτοῦ κεκριμένων τὴν εὐφωνίαν· χαλκοπῶλαι, σιδηροπῶλαι, λαχανοπῶλαι, ... τυροπῶλαι, ... συρμαιοπῶλαι, στυππειοπῶλαι, ἐριοπῶλαι, λιβανωτοπῶλαι, ...

ῥιζοπῶλαι, σιλφιοπῶλαι, καυλοπῶλαι, σκευοπῶλαι, σπερμολόγοι, σπερματοπῶλαι, χυτροπῶλαι, ... φαρμακοπῶλαι, ... βελονοπῶλαι, ... πινακοπῶλαι ... τούτους δ᾽ ὀρνιθοκαπήλους Κριτίας καλεῖ ...

**B 71** = Pollux, Onomasticon VIII, 25

Κριτίας δὲ ἀποδικάσαι ἔφη τὴν δίκην τὸ ἀπολῦσαι ἢ νικῶσαν ἀποφῆναι, ὡς ἂν ἡμεῖς ἀποψηφίσασθαι. ὁ δ᾽ αὐτὸς καὶ διαδικάζειν τὸ δι᾽ ὅλου τοῦ ἔτους δικάζειν.

**B 72** = Pollux, Onomasticon IX, 17

ἀστυνόμος καὶ παρὰ Κριτίαι ὁ ἀστύτριψ.

**B 73** = Pollux, Onomasticon IX, 161

καὶ ἡ παρ᾽ Εὐριπίδηι (fr. 1100) εὐπαιδευσία καὶ ἡ παρὰ Κριτίαι εὐξυνεσία.

**B 75** = Platón, Respublica II; p. 368a

οὐ κακῶς εἰς ὑμᾶς, ὦ παῖδες ἐκείνου τοῦ ἀνδρός, τὴν ἀρχὴν τῶν ἐλεγείων ἐποίησεν ὁ Γλαύκωνος ἐραστής, εὐδοκιμήσαντας περὶ τὴν Μεγαροῖ μάχην, εἰπών·

παῖδες ᾽Αρίστωνος κλεινοῦ θεῖον γένος ἀνδρός.